καί οὐ προσελεύσεται πρός σέ κακά, καί μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. Τοῦτον θεωροῦσαι αἱ ἐναντίαι δυνάμεις φρίττουσιν ὑποχωροῦσαι· οὗτος καί τήν οἰκουμένην ἡγίασεν, οὗτος τό σκότος ἠφάνισε καί τό φῶς ἐπανήγαγεν· οὗτος τήν πλάνην κατήργησεν· οὗτος τά ἔθνη συνήγαγεν ἀπό ἀνατολῶν καί δυσμῶν καί βορρᾶ καί νότου, καί εἰς μίαν ἐκκλησίαν, καί εἰς μίαν πίστιν καί εἰς ἕν βάπτισμα ἐν ἀγάπῃ συνέδησε· τό ἀκαταμάχητον τεῖχος τῶν ὀρθοδόξων. Ποῖον στόμα ἤ ποῖα γλῶσσα ἀξίως ἐγκωμιάσῃ τό ἀκαταμάχητον ὅπλον τοῦ βασιλέως Χριστοῦ; Οὗτός ἐστιν ὁ παγείς ἐν τόπῳ κρανίου, καί εὐθέως βλαστήσας τόν βότρυν τῆς ζωῆς ἡμῶν. Ἐν τούτῳ τῷ τιμίῳ ὅπλῳ Χριστός ὁ Σωτήρ ἡμῶν διέρρηξε τήν παμφάγον τοῦ ᾅδου γαστέρα καί τό πολυμήχανον τοῦ Διαβόλου ἐνέφραξε στόμα. Τοῦτον ἰδών ὁ θεήλατος θάνατος πάντας οὕς εἶχεν ἀπό τοῦ πρωτοπλάστου ἀπέλυσεν. Τούτῳ ὁπλισάμενοι οἱ μακάριοι ἀπόστολοι, πᾶσαν τήν δύναμιν τοῦ Ἐχθροῦ κατεπάτησαν. Τοῦτον περιβαλλόμενοι ἀντί θώρακος οἱ στρατιῶται τοῦ Χριστοῦ καί μάρτυρες, πάσας τάς ἐπινοίας καί θράση τοῦ Πονηροῦ κατήργησαν. Τοῦτον βαστάζοντες, οἱ τῷ κόσμῳ ἀποτασσόμενοι, μετά πολλῆς προθυμίας κατοικοῦσιν ἐν ὄρεσι καί σπηλαίοις καί ταῖς ὀπαῖς τῆς γῆς τάς καταμονάς ποιοῦνται. Ὢ τῆς ἀμετρήτου ἀγαθότητος τοῦ φιλανθρώπου Θεοῦ! πόσα ἀγαθά ἐδωρήσατο διά τοῦ σταυροῦ τῷ γένει τῶν ἀνθρώπων; Αὐτός πάλιν ἐν τῇ συντελείᾳ τοῦ κόσμου, ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Κυρίου, πρῶτος μέλλει ἀναφαίνεσθαι ἐν τῷ οὐρανῷ μετά δόξης πολλῆς καί πλήθοις στρατιᾶς ἀγγέλων, τούς μέν ἐχθρούς ἐκφοβῶν καί ἐκθλίβων, τούς δέ πιστούς χαροποιῶν καί φωτίζων καί τήν παρουσίαν μηνύων τοῦ μεγάλου Βασιλέως.

Καί περί μέν τοῦ τιμίου σταυροῦ, ταῦτα καί πλείονα τούτων. Τά δέ μετά τούτων, ἤγουν τά ὀπίσω αὐτοῦ ἐρχόμενα, διηγήσομαι ποταπά ὑπέρ λόγον καί ἔννοιαν, ὑπερβαίνοντα πᾶσαν διήγησιν καί ἐκπλήττοντα πᾶσαν ἀκοήν. Οἴμοι, ἀδελφοί μου φιλόχριστοι, ἐμνήσθην τῆς ὥρας ἐκείνης καί ἐτρόμαξα, καί ἐνταῦθα καταπαῦσαι τόν λόγον ἐβουλήθην ἀπό τοῦ πολλοῦ φόβου, ἐνθυμούμενος τά μέλλοντα ἀποκαλύπτεσθαι ὀπίσω τοῦ τιμίου σταυροῦ. Τίς γάρ αὐτά διηγήσεται ἤ τίς τολμήσει ἐξειπεῖν; ποῖον στόμα ἀπαγγείλῃ; ποία δέ γλῶσσα φθέγξεται; ποία δε φωνή δηλώσει; ποία δέ ἀκοή χωρήσει ἀκοῦσαι, ὅπερ οὐδέ οἱ οὐρανοί (ἄλλ. ἄγγελοι) ὑπενεγκεῖν δύνανται. Τοιαῦτα γάρ μεγάλα καί φρικτά θαυμάσια οὔτε ἐγένοντο, ἐν ὅλαις ταῖς γενεαῖας, οὔτε ὡράθησαν. Καί ἄρτι μέν πολλάκις ἐάν ἀστραπή ἤ βροντή τρανοτέρα γένηται, πάντας ἐκθροεῖ καί πάντες εἰς γῆν ἐπικλινόμενοι, δεδοικότες φρίττομεν. Πῶς δέ ὑπενέγκωμέν τοτε, ὅταν ἀκούσωμεν τῆς

φωνῆς τῆς σάλπιγγος, φοβερόν κεκραγυίας καί ἐξυπνιζούσης τούς ἀπ' αἰῶνος κεκοιμημένους δικαίους τε καί ἁμαρτωλούς. Τότε ἐν τῷ ᾅδῃ τά ὀστᾶ τῆς ἀνθρωπίνης φύσεως, ἀκούσαντα τῆς φωνῆς τῆς σάλπιγγος, περιτρέχουσι μετά σπουδῆς, ζητοῦντα τάς ἑαυτῶν ἁρμονίας. Ὅταν ἴδωμεν πᾶσαν ἀνθρωπίνην φύσιν ἀνισταμένην, ἕκαστον ἐκ τοῦ τόπου αὐτοῦ καί ἐπισυναγομένους ἀπό τῶν περάτων τῆς γῆς πρός τό κριτήριον, ποῖος φόβος, ποταπή δέ φρίκη λήψεται ἡμᾶς; Κελεύει γάρ ὁ μέγας βασιλεύς καί εὐθέως μετά τρόμου καί σπουδῆς δώσῃ ἡ γῆ τούς νεκρούς αὐτῆς, ἡ θάλασσα τούς ἑαυτῆς νεκρούς, καί ὁ ᾅδης τούς ἰδίους νεκρούς, καί εἴτε θηρίον ἥρπασεν ἤ ἰχθύς ἐμέλισεν, εἴτε ὄρνεον διήρπασεν, πάντες ἐν ριπῇ ὀφθαλμοῦ παραστησώμεθα.

Ὅταν ἴδωμεν πύρινον ποταμόν ἐξερχόμενον ἀπό ἀνατολῶν μετά θυμοῦ, ὥσπερ ἀγρία θάλασσα καί κατεσθίοντα τά ὄρη καί τάς νάπας, καί κατακαίοντα πᾶσαν τήν γῆν καί τά ἐν αὐτῇ ἔργα, τότε, ἀγαπητοί, ἐκ τοῦ πυρός ἐκείνου αἱ πηγαί ἐκλείπουσιν, οἱ ποταμοί ἀφανίζονται, ἡ θάλασσα ξηραίνεται, ὁ ἀήρ κλονεῖται, τά ἄστρα πίπτουσιν ἐκ τοῦ οὐρανοῦ, ὁ ἥλιος ἐκλείπει, ἡ σελήνη μεταβάλλεται εἰς αἷμα, ὁ οὐρανός εἱλίσσεται ὡς βιβλίον· ὅταν δέ θεωρήσωμεν τούς ἀγγέλους ἀποστελλομένους καί περιτρέχοντας μετά σπουδῆς, καί ἐπισυνάγοντας τούς ἐκλεκτούς δούλους τοῦ Θεοῦ ἀπ' ἄκρων οὐρανοῦ ἕως ἄκρων αὐτοῦ· ὅταν ἴδωμεν οὐρανόν καινόν καί γῆν καινήν· ὅταν ἴδωμεν τόν φοβερόν θρόνον ἑτοιμαζόμενον· ὅταν θεωρήσωμεν τό σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἀναφανέν ἐν τῷ οὐρανῷ, τόν τίμιον καί ζωοποιόν σταυρόν φωτίζοντα πάντα τά πέρατα τῆς γῆς· τότε πάντες θεωροῦντες ἐν τῷ ὕψει φανέν τό βασιλικόν τοῦτο καί φοβερόν σκῆπτρον, ἐπιγινώσκει ἕκαστος ὅτι εὐθέως ὀπίσω τούτου ὁ βασιλεύς μέλλει ἀναφαίνεσθαι ἐν ἐκείνῃ τῇ ὥρᾳ· τίς ἄρα ἀπαντήσεται τῷ Χριστῷ καί ἀπολογήσεται; καί ἐάν σύνοιδεν ἑαυτῷ πταίσματα ἤ παραπτώματα ἵσταται γυμνός καί τεθλιμμένος, ἐκδεχόμενος τήν ἀπόφασιν τήν μέλλουσαν ἐξελθεῖν κατ' αὐτοῦ. Ἕκαστος γάρ θεωρεῖ τά ἴδια ἔργα αὐτοῦ πρό προσώπου αὐτοῦ ἱστάμενα, κἄν τε ἀγαθά, κἄν τε φαῦλα. Τότε οἱ τήν στενήν καί τεθλιμμένην ὁδόν βαδίσαντες καί πάντες οἱ γνησίως μετανοήσαντες, καί πάντες οἱ ἐλεήμονες καί ξενοδόχοι ἵστανται ἱλαροί, μετά πάσης χαρᾶς προσδεχόμενοι τήν μακαρίαν ἐλπίδα καί ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἔρχεται γάρ ἵνα στεφανώσῃ τούς ἀγωνιζομένους ἐν ἀγρυπνίαις καί προσευχαῖς καί νηστείαις καί ψαλμῳδίαις. Ἔρχεται ἵνα μακαρίσῃ τούς πενθήσαντας ἐπί τοῖς παραπτώμασιν αὐτῶν, ἔρχεται ἵνα στεφανώσῃ τούς ἐλεήμονας, ἔρχεται ἵνα ὑψώσῃ τούς πτωχεύσαντες διά τό ὄνομα αὐτοῦ, τούς μή ἀγαπήσαντας

τόν κόσμον καί τά ἐν κόσμῳ, ἀλλά πάντα καταλιπόντας καί αὐτῷ μόνο ἀκολουθήσαντας. Ἔρχεται οὐκ ἔτι ἀπό γῆς, ἀλλ' ἐξ οὐρανοῦ, ὡς ἀστραπή φοβερά. Τότε γίνεται κραυγή μεγάλη λέγουσα· ἰδού ὁ Νυμφίος ἔρχεται, ἰδού ὁ κριτής παραγίνεται, ἰδού ὁ δικαστής τῶν δικαστῶν ἀποκαλύπτεται, ἰδού ὁ τῶν ὅλων Θεός παραγίνεται κρῖναι τήν οἰκουμένην καί ἀποδοῦναι ἑκάστῳ κατά τά ἔργα αὐτοῦ. Τότε, ἀδελφοί μου ἀγαπητοί, ἐκ τῆς κραυγῆς ἐκείνης τρομάξουσιν οἱ νεφροί τῆς γῆς ἀπό περάτων ἕως περάτων, καί θάλασσα καί πᾶσαι ἄβυσσοι. Τότε, ἀγαπητοί, φόβος καί τρόμος καί ἔκστασις λήψεται πάντα ἄνθρωπον ἐκ τῆς κραυγῆς καί τοῦ ἤχου τῆς σάλπιγγος καί τῆς προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ. Τότε αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Τότε προβαδίσουσιν ἀστραπαί, προστρέχουσι στρατιαί ἀγγέλων· οἱ τῶν ἀρχαγγέλων χοροί ἑτοιμάζονται· τά Χερουβίμ καί τά Σεραφίμ καί τά Πολυόμματα ἐν ἰσχύϊ κράζουσιν, ἅγιος, ἅγιος, ἅγιος, Κύριος σαβαώθ, ὁ ὤν, καί ὁ ἦν, καί ὁ ἐρχόμενος, ὁ παντοκράτωρ. Τότε πᾶν κτίσμα ἐν οὐρανῷ καί ἐπί γῆς ἐν δυνάμει κράζουσιν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου (Ματθ. 21, 9). Τότε σχισθήσονται οἱ οὐρανοί καί ἀποκαλυφθήσεται ὁ τῶν βασιλέων βασιλεύς καί ἄρχων τῶν ἀρχόντων, ὡς ἀστραπή φοβερά, μετά δυνάμεως πολλῆς καί δόξης ἀνεικάστου· καί ὄψεται αὐτόν πᾶς ὀφθαλμός, καί οἵτινες αὐτόν ἐξεκέντησαν, καί κόψονται ἐπ' αὐτοῖς πᾶσαι αἱ φυλαί τῆς γῆς (Ἰωάν. 19, 37. Ἀποκ. 1, 7). Τότε ὁ οὐρανός καί ἡ γῆ εἰς φυγήν τραπήσονται, καθώς ὁ Ἰωάννης προεδήλωσε, λέγων· εἶδεν θρόνον λευκόν μέγαν, καί τόν καθήμενον ἐπ' αὐτόν, οὗ ἀπό προσώπου αὐτοῦ ἔφυγεν ὁ οὐρανός καί ἡ γῆ (Ἀποκ. 20, 11)· φεῦ ἁμαρτωλοί δέ ποῦ στησόμεθα; Τότε καθίσεται ἐπί θρόνου δόξης αὐτοῦ, ὡς αὐτός εἴρηκε, καί συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τά ἔθνη (Ματθ. 19, 28).

Ποταπή ἄρα ψυχή μέλλει εὑρεθῆναι ἵνα δυνηθῇ ὑπομεῖναι, ὅτε τεθῶσιν θρόνοι καί κριτήριον καθίσει καί βίβλοι ἀνεωχθῶσι; Τότε θεασώμεθα τάς ἀναριθμήτους τῶν ἀγγέλων δυνάμεις παρεστῶτας κύκλῳ ἐν φόβῳ. Τότε ἑνός ἑκάστου τά ἔργα ἐπί ἀγγέλων καί ἀνθρώπων ἀναγινώσκονται καί θριαμβεύονται. Τότε πληροῦται ἡ προφητεία Δανιήλ, ἡ λέγουσα· ἐγώ Δανιήλ ἐθεώρουν, ἕως οὗ θρόνοι ἐτέθησαν, καί ὁ παλαιός ἡμερῶν ἐκάθισεν· τό ἔνδυμα αὐτοῦ λευκόν, ὡσεί χιών· ἡ θρίξ τῆς κεφαλῆς αὐτοῦ ὡσεί ἔριον καθαρόν· ὁ θρόνος αὐτοῦ, φλόξ πυρός· οἱ τροχοί αὐτοῦ, πῦρ φλέγον. Ποταμός πυρός εἷλκεν ἔμπροσθεν αὐτοῦ. Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ καί μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ· κριτήριον ἐκάθισε, καί βίβλοι ἠνεῴχθησαν (Δαν. 7, 9, 10). Μέγας ὁ φόβος, ἀδελφοί, ἐν τῇ ὥρᾳ ἐκείνῃ ὅτε ἀνοι-

χθῶσιν ἐκεῖναι αἱ φοβεραί βίβλοι, ἔνθα γεγραμμένα εἰσί τά ἔργα ἡμῶν καί οἱ λόγοι ἡμῶν, καί ὅσα ἐπράξαμεν ἐν τῷ βίῳ τούτῳ, καί ἐνομίσαμεν λαθεῖν τόν Θεόν τόν ἐτάζοντα καρδίας καί νεφρούς. Ἐκεῖ ἀναγέγραπται πᾶσα πρᾶξις καί ἐνθύμησις ἀνθρώπων, κἄν τε ἀγαθά κἄν τε φαῦλα. Ὦ πόσων δακρύων χρήζομεν διά τήν ὥραν ἐκείνην ἥν ἀμελοῦμεν. Διά γάρ τῶν δακρύων καί ἐλεημοσυνῶν δυνάμεθα ἐξαλεῖψαι τά γεγραμμένα ἐγκλήματα. Ὦ πόσα στενάξομεν καί ἐλεεινά δακρύσομεν, ὅταν ἴδωμεν τήν οὐρανῶν βασιλείαν ἀπόρρητον. Καί πάλιν, ἐκ τοῦ ἄλλου μέρους, θεασώμεθα τάς φοβεράς κολάσεις φαινομένας· μέσον δέ τούτων πᾶσαν φύσιν ἀνθρώπων ἀπό τοῦ πρωτοπλάστου Ἀδάμ ἕως τοῦ γεννηθέντος πάντων ὕστερον, καί πάντας προσκυνοῦντας ἐπί πρόσωπον. Τότε πληρωθήσεται ὁ λόγος ὁ γεγραμμένος· ζῶ ἐγώ, λέγει Κύριος, ὅτι ἐμοί κάμψει πᾶν γόνυ (Ἠσ. 45, 23) καί πάλιν ὁ Ἀπόστολος ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ· πᾶν γόνυ κάμψει ἐπουρανίων καί ἐπιγείων καί καταχθονίων, καί πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστός εἰς δόξαν Θεοῦ πατρός (Β' Φιλιπ. 10, 11) ἀμήν.

***Ἐρώτησις: Ἠρώτησαν αὐτοί οἱ φιλόχριστοι ἀκροαταί· διδάσκαλε, εἰπέ ἡμῖν καί τά τούτοις ἀκόλουθα (καί πῶς ἐπερωτῶνται).***

*Ἀπόκρισις:* Τότε, ἀδελφοί μου φιλόχριστοι, πᾶσα ἀνθρωπότης ἱσταμένη, μέσον τῆς βασιλείας καί τῆς κρίσεως, μέσον ζωῆς καί θανάτου, μέσον χαρᾶς καί ἀνάγκης, καί πάντες κάτω νεύοντες βλέπουσιν τούς ἔμπροσθεν τοῦ βήματος παρισταμένους καί ἐπερωτωμένους, καί μάλιστα τούς ἐν ἀμελείᾳ ζήσαντας, καί ταῦτα θεωροῦντες, πάλιν κάτω νεύοντες, ἐνθυμῶντες τάς πράξεις αὐτῶν. Ἀλλά καί βλέπει ἕκαστος τά ἴδια ἔργα ἔμπροσθεν αὐτοῦ ἱστάμενα, εἴτε ἀγαθά εἴτε φαῦλα, ἕκαστος ἅ προέπεμψε. Τότε οἱ φαῦλα πράξαντες καί μή μετανοήσανες ὀδυρόμενοι λέγουσιν· ὤ πῶς οὐκ ἠγωνισάμεθα οἱ ἄθλιοι, ἀλλ' ἐν ἀμελείᾳ τόν καιρόν ἀπωλέσαμεν, παίζοντες καί παιζόμενοι; πῶς οὐκ ἠγρυπνήσαμεν; διατί οὐκ ἐνηστεύσαμεν; διατί οὐκ ἠλεήσαμεν πτωχούς; διατί ἐφθονήσαμεν οἱ ἄθλιοι καί ἐπράξαμεν κακά; διατί οὐ μετηνοήσαμεν, ὡς καιρός ἦν μετανοίας, ἀλλά γελῶντες καί τρυφῶντες καί μετεωριζόμενοι ἐτελέσαμεν, ὅτε μετανοίας καιρός οὐκ ἔτι ἐστί; τί ποιήσωμεν ὅτι ἔφθασεν ἡ φοβερά ἡμέρα καί ὥρα ἥν ἠκούσαμεν πολλάκις καί ἐγελῶμεν; τί ποιήσωμεν οἱ ἐλεεινοί, ὅτι αἱ βίβλοι ἠνεῳχθησαν καί κρίνουσιν ἅπαντας;

Ταῦτα αὐτῶν διαλογιζομένων ἀκούουσι τῆς φωνῆς τοῦ Κριτοῦ φοβερῶς κεκραγότος καί λέγοντος· δείξατε τά ἔργα ὑμῶν, καί λάβετε τόν μισθόν. Ἐν δέ τῇ ὥρᾳ ἐκείνῃ σαλευθήσονται πάντα τά τάγματα τῶν χριστιανῶν, ἀρχιερεῖς καί διάκονοι καί τά λοιπά τάγματα τῆς

ἐκκλησίας. Ἕκαστος γάρ, ὡς λέγει ὁ ἀπόστολος, ἐγείρεται ἐν τῷ ἰδίῳ τάγματι (Α' Κορ. 15, 23) δοῦναι λόγον τῷ Θεῷ. Τότε ταραχθήσονται βασιλεῖς καί δυνάσται, σοφοί καί πλούσιοι καί πένητες, διότι ἐπέστη ἡ ὥρα, ἵνα θερίσῃ ἕκαστος ὅ ἔσπειρεν.

***Ἐρώτησις: Ἠρώτησαν οἱ φιλόχριστοι ἀκροαταί· εἰπέ ἡμῖν καί μετά ταῦτα, δοῦλε τοῦ Θεοῦ, τί μέλλουσιν ἀκούειν ἤ παθεῖν;***

***Ἀπόκρισις:*** Οἴμοι, ἀδελφοί μου φιλόχριστοι, θέλων εἰπεῖν καί τά μετά ταῦτα, καί ἐκ τοῦ φόβου ἀνακόπτομαι, ἡ φωνή μου ἐκλείπει, τά δάκρυά μου προτρέχουσιν, καί ἰλιγγιῶ· φρικτόν γάρ τό διήγημα.

***Ἐρώτησις: Οἱ φιλόχριστοι· εἰπέ διά τόν Κύριον πρός ἡμετέραν ὠφέλειαν.***

***Ὁ Διδάσκαλος λέγει:*** Τότε, φιλόχριστοι, ἐρευνᾶται ἑκάστου ἡ σφραγίς τοῦ χριστιανισμοῦ, ἥν ἔλαβεν ἕκαστος ἐν τῇ καθολικῇ ἐκκλησίᾳ διά τοῦ βαπτίσματος, καί ἀπαιτεῖται ἕκαστος τήν πίστιν τήν ἀμίαντον, καί τήν σφραγίδα τήν ἄθραυστον, καί τόν χιτῶνα ἀμόλυντον, καί τήν καλήν ὁμολογίαν ἥν ὡμολόγησεν ἐπί πολλῶν μαρτύρων, λέγων· ἀποτάσσομαι τῷ Σατανᾷ καί πᾶσι τοῖς ἔργοις αὐτοῦ, οὐχί ἑνί ἤ πέντε, ἀλλά πᾶσι τοῖς ἔργοις τοῦ Διαβόλου. Ταύτην οὖν τήν καλήν ἀποταγήν ἀπαιτούμεθα ἐν τῇ ὥρᾳ ἐκείνῃ· καί μακάριος ὅστις ἐφύλαξε καθώς καί συνετάχθη. Δι' ἑνός γάρ 'ρήματος ἀποτάσσεται πᾶσι τοῖς ἔργοις τοῦ Διαβόλου, μοιχείαν τήν βδελυρωτάτην, πορνείαν, φόνους, ἀκαθαρσίαν, φθόνον, κλοπήν, λοιδορίαν, πικρίαν, θυμόν, ἀργολογίαν, μέθην, μνησικακίαν, ζῆλον, ὑπερηφανίαν, βλακείαν, γέλωτα, καθαρισμούς, ὀρχησμούς, χοραυλίας, καταλέγματα, τραγῳδίας, τά ᾄσματα τῶν Δαιμόνων, πλεονεξίαν, μισαδελφίαν, τά ἔσχατα πάντων τῶν κακῶν, πρωτομαντίαν, εἰδωλολατρείαν, φαρμακείαν. Ταῦτα καί τά τούτοις ὅμοια ἀποτάσσεται πᾶς χριστιανός ἐπί τῆς ἁγίας κολυμβήθρας. Ταύτην τήν ἀποταγήν ἀπαιτούμεθα ἐν τῇ ὥρᾳ ἐκείνῃ.

***Ἐρώτησις: Οἱ φιλόχριστοι. Εἰπέ ἡμῖν καί τά τούτοις ἀκόλουθα, καί πῶς ἐπερωτῶνται.***

***Ὁ Διδάσκαλος λέγει:*** Λαλήσω ἐν ὀδύνῃ, καί εἴπω ἐν στεναγμοῖς μετά δακρύων. Οὐ γάρ ἐστι δυνατόν ἐκεῖνα χωρίς δακρύων διηγήσασθαι, καθότι τά ἔσχατά εἰσι. Τότε φιλόχριστοι μετά τό ἐρευνηθῆναι καί ἐξετασθῆναι πάντας, καί πάντων τά ἔργα δημοσιευθῆναι ἐπί ἀγγέλων καί ἀνθρώπων, καί καταργηθῇ πᾶσα ἀρχή καί ἐξουσία καί δύναμις, καί πάντες οἱ ἐχθροί τεθῶσιν ὑπό τούς πόδας αὐτοῦ· τότε λοιπόν, καθώς εἶπεν, ὁ Κύριος ἀφορίζει αὐτούς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμήν ἀφορίζει τά πρόβατα ἀπό τῶν ἐρίφων (Ματθ. 25, 33) καί στή-

σει τά μέν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τά πρόβατα, τά ἔχοντα τούς καλούς καρπούς· τά πρόβατα, τά γινώσκοντα τόν Ποιμένα· τά πρόβατα, τά ἐσφραγισμένα, τά φυλάξαντα τήν σφραγίδα ἄθραυστον· τά πρόβατα τά ἀκολουθήσαντα τόν ποιμένα τόν μέγαν, τόν εἰπόντα· δεῦτε ὀπίσω μου· τά πρόβατα, τά μή μιάναντα τήν ἁγίαν πίστιν μετά τῶν βλασφήμων αἱρετικῶν. Ταῦτα τά πρόβατα στήσει ἐκ δεξιῶν αὐτοῦ, τά δέ ἐρίφια ἐξ εὐωνύμων· ταῦτα τά ἐρίφιά εἰσιν, ὅσοι καρπόν οὐκ ἔχουσιν, ὅσοι τόν ποιμένα παρώξυναν. Οὗτοί εἰσι τά ἐρίφια τά νεμώμενα μετά τῶν αἱρετικῶν, καί τήν ἁγίαν πίστιν μιαίνοντα, οἵτινες ἐσκίρτησαν, ἐτρύφησαν, ἐχόρευσαν, καί σωρεύσαντες τό οὐαί ἐξῆλθον ἐκ τοῦ βίου παντός ἔργου ἀγαθοῦ ἔρημοι, πάσης ἀκαθαρσίας πεπληρωμένοι· οὕς ἰδών ὁ Θεός ἀποστρέφει τούς ὀφθαλμούς αὐτοῦ ἀπ' αὐτῶν, καί στήσει αὐτούς ἐξ ἀριστερῶν. Τότε λέγει τοῖς ἐκ δεξιῶν αὐτοῦ· δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τήν ἐπηγγελμένην ὑμῖν βασιλείαν (Ματθ. 25, 33). Δεῦτε οἱ υἱοί τοῦ φωτός (ἴσως πατρός) μου. Δεῦτε οἱ εὐλογημένοι τῆς ἐμῆς βασιλείας κληρονόμοι. Δεῦτε οἱ δι' ἐμέ πτωχεύσαντες καί πεινάσαντες, καί διψάσαντες, οἱ μή ἀγαπήσαντες τόν κόσμον, μηδέ τά ἐν κόσμῳ. Δεῦτε οἱ δι' ἐμέ καταλιπόντες πᾶσιν χώραν καί χαράν τοῦ κόσμου, συγγενεῖς καί φίλους, καί γονεῖς καί τέκνα. Δεῦτε οἱ ἐν ἐρημίαις καί ὄρεσι καί σπηλαίοις καί ταῖς ὀπαῖς τῆς γῆς οἱ μετά τῶν θηρίων οἰκήσαντες, οἰκήσατε μετά ἀγγέλων ἐν οὐρανοῖς. Δεῦτε πάντες οἱ ἐλεήμονες καί ξενοδόχοι. Δεῦτε πάντες οἱ τήν στενήν καί τεθλιμμένην ὁδόν βαδίσαντες. Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τήν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπό καταβολῆς κόσμου. Τότε λέγει καί τοῖς ἐξ ἀριστερῶν· πορεύεσθε ἀπ' ἐμοῦ πάντες οἱ κατηραμένοι εἰς τό πῦρ τό ἐξώτερον· πορεύεσθε ἀπ' ἐμοῦ οἱ μεμισημένοι καί ἀνελεήμονες, καί μισάδελφοι καί μισόχριστοι. Οὐκ ἐλεήσατε, οὐκ ἐλεηθήσεσθε, οὐκ ἠκούσατε μου τῶν ἀχράντων εὐαγγελίων καί τῶν μακαρίων μου μαθητῶν, οὐδέ ἐγώ εἰσακούσομαι τῶν θρήνων ἡμῶν. Ἐτρυφήσατε ἐπί γῆς, ἀπελαύσατε τά ἀγαθά ἐν τῇ ζωῇ ὑμῶν. Ἐκεῖ καθεκάστην διά τῶν γραφῶν ἐβόων, καί ἀκούοντες ἐχλευάζετε τούς ἀναγινώσκοντας· καί νῦν λέγω, οὐκ οἶδα ὑμᾶς πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τό πῦρ τό ἐξώτερον καί αἰώνιον, τό ἡτοιμασμένον τῷ Διαβόλῳ καί τοῖς ἀγγέλοις αὐτοῦ. Τότε ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δέ δίκαιοι εἰς ζωήν αἰώνιον.

***Ἐρώτησις: Οἱ φιλόχριστοι εἶπον· εἰς μίαν κόλασιν ἀποτρέχοντας πάντες, ἤ διάφοροι κολάσεις εἰσίν;***

***Ἀπόκρισις:*** Ὁ διδάσκαλος λέγει: Διάφοροι κολάσεις εἰσί καθώς ἐν τῷ εὐαγγελίῳ ἠκούσατε· ἐστίν οὖν σκότος ἐξώτερον ἐν τῇ ἰδίᾳ

χώρα· γέεννα πυρός, τόπος ἄλλος· βρυγμός ὀδόντων, τόπος ἴδιος· ὁ σκώληξ ὁ ἀκοίμητος ἐν ἑτέρῳ τόπῳ· ἡ λίμνη τοῦ πυρός, τόπος ἕτερος· ὁ τάρταρος, τόπος ἴδιος· τό ἄσβεστον πῦρ ἐν ἰδίᾳ χώρα· ὁ πύρινος ποταμός ἀλλαχοῦ. Ἐν ταύταις ταῖς κολάσεσι καταμερίζονται οἱ ἐλεεινοί, ἕκαστος πρός ἀναλογίαν τῶν πταισμάτων καί ὥσπερ εἰσί διαφοραί ἁμαρτιῶν, οὕτως εἰσί διάφοροι κολάσεις.

***Ἐρώτησις: Οἱ φιλόχριστοι· εἰπέ ἡμῖν καί τήν διαφοράν τῶν κολάσεων.***

***Ἀπόκρισις:*** Ὁ διδάσκαλος λέγει· Διάφοροι κολάσεις εἰσί καθώς ἐν τῷ εὐαγγελίῳ ἠκούσατε· ἐστίν οὖν σκοτος ἐξώτερον ἐν τῇ ἰδίᾳ χώρα· γέεννα πυρός, τόπος ἄλλος· βρυγμός ὀδόντων, τόπος ἴδιος· τό ἄσβεστον πῦρ ἐν ἰδίᾳ χώρα· ὁ πύρινος ποταμός ἀλλαχοῦ. Ἐν ταύταις ταῖς κολάσεσι καταμερίζονται οἱ ἐλεεινοί, ἕκαστος πρός ἀναλογίαν τῶν πταισμάτων καί ὥσπερ εἰσί διαφοραί ἁμαρτιῶν, οὕτως εἰσί διάφοροι κολάσεις.

***Ἐρώτησις: Οἱ φιλόχριστοι· εἰπέ ἡμῖν καί τήν διαφοράν τῶν κολάσεων.***

***Ἀπόκρισις:*** Ὁ διδάσκαλος λέγει· ἄλλως κολάζεται ὁ μοιχός καί ἄλλως ὁ πόρνος, καί ἄλλως ὁ φονεύς, καί ἄλλως ὁ κλέπτης, καί ἄλλως ὁ μέθυσος. Οἱ δέ ἐν αἱρέσει μεμιγμένοι ἀκούσωσι τό, ἀρθήτω ὁ ἀσεβής ἵνα μή ἴδη τήν δόξαν Κυρίου. Οἱ δέ ἔχοντες ἔχθραν κατ' ἀλλήλων, καί συμβῇ αὐτούς ἐξελθεῖν ἐκ τοῦ βίου, ἀπαραίτητον κρίμα εὑρήσωσι, καί ὡς μεμισημένοι εἰς τό ἐξώτερον πέμπτονται σκότος, ὡς τόν Χριστόν μισήσαντες, τόν εἰπόντα· ἀγαπᾶτε ἀλλήλους, καί συγχωρεῖτε. Οὐαί τότε τῷ φιλοπόρνῳ· οὐαί τῷ μοιχῷ· οὐαί τῷ μεθύσῳ· οὐαί τοῖς φαρμακοῖς καί τοῖς μάντεσι· οὐαί τοῖς τά γραπτά ποιοῦσι, καί γοητείας καί μαγείας καί περιεργείας, οὐ μόνον τοῖς ποιοῦσιν, ἀλλά καί τοῖς προστρέχουσιν αὐτοῖς· οὐαί οἱ τόν οἶνον πίνοντες μετά τυμπάνων καί χορῶν· οὐαί τοῖς συμμιαινομένοις μετά τῶν βλασφήμων αἱρετικῶν· οὐαί τοῖς ἐνυβρίζουσι τάς θείας γραφάς· οὐαί τοῖς ἀπολοῦσι τόν τῆς μετανοίας καιρόν εἰς γέλοια καί μετεωρισμούς. Ζητήσουσι γάρ μετά δακρύων πικρῶν τούς καιρούς, οὕς κακῶς ἐδαπάνησαν, καί οὐ μή εὕρωσιν. Οὐαί τοῖς δικαιοῦσι τόν ἀσεβῆ ἕνεκεν δώρων. Οὐαί τοῖς ἁρπάζουσι τά ἀλλότρια. Καί ἵνα συντόμως εἴπω· οὐαί πᾶσι τοῖς ἐξ ἀριστερῶν λαχοῦσι, ὅταν ἀκούσωσι τό, πορεύεσθε ἀπ' ἐμοῦ, καί ἀπέλθετε κατηραμένοι καί μεμισημένοι εἰς τά ἔργα ὑμῶν. Οὐκ οἶδα ὑμᾶς, καί εὐθέως ταράσσονται, καί ἀπέρχονται, καί ἀπελαύνονται ἀπό τοῦ βήματος μετά μεγάλου κλαυθμοῦ καί παραδίδονται εἰς χεῖρας τοῦ θανάτου, ἵνα ποιμανῇ αὐτούς, καθώς γέγραπται (Ψαλμ. 49, 14).

***Οἱ φιλόχριστοι: Παρακαλοῦμέν σε, δοῦλε τοῦ Θεοῦ, ἵνα τελείως πληροφορήσῃς ἡμᾶς καί περί τούτου, τό πῶς καί ποίῳ τρόπῳ ἀπέρχονται εἰς τάς κολάσεις οἱ ἄθλιοι;***

***Ὁ Διδάσκαλος*** πάλιν δακρύσας, καί ταῖς χερσί τύψας τό στῆθος, ἀπεκρίθη αὐτοῖς, λέγων· ὦ ἀδελφοί μου φιλόχριστοι, ποίαν ὀδυνηράν διήγησιν παρακαλεῖτε ἀκοῦσαι! Ὦ φρικτῆς καί φοβερᾶς ὥρας· οἴμοι, οἴμοι, ἀγαπητοί μου, τίς τολμήσει διηγήσασθαι, ἤ τίς βαστάσει ἀκοῦσαι ταῦτα τῆς φοβερᾶς καί ὑστερωτέρας διηγήσεως. Ὅσοι ἔχετε δάκρυα, κλαύσατε· καί οἱ μή ἔχοντες δεῦτε, ἀκούσατε τί ὑμᾶς περιμένει, καί μή ἀμελοῦμεν τῆς ἡμῶν σωτηρίας. Τότε γάρ χωρίζονται ἀπ' ἀλλήλων τόν ἐλεεινόν ἐκεῖνον χωρισμόν καί ἀποδημοῦσιν ἀποδημίαν ἐπιστροφήν μή ἔχουσαν. Τότε διαχωρισθήσονται ἐπίσκοποι ἀπό συνεπισκόπων, καί πρεσβύτεροι ἀπό συμπρεσβυτέρων, καί διάκονοι ἀπό συνδιακόνων, ὑποδιάκονοι καί ἀναγνῶσται ἀπό τῶν ἑταίρων αὐτῶν. Τότε διαχωρισθήσονται οἱ ποτέ βασιλεῖς, καί κλαύσουσιν ὡς νήπια, καί ἐλαθήσονται ὡς ἀνδράποδα. Τότε στενάξουσιν ἄρχοντες καί εὑρεθήσονται ἔρημοι, καί ἀποβλέψουσιν ἔνθεν καί ἔνθεν, καί οὐδείς ὁ βοηθῶν. Οὔτε ὁ πλοῦτος φαίνεται, οὔτε οἱ κόλακες περίστανται. Τότε διαχωρισθήσονται οἱ ἐν ἀμελείᾳ ζήσαντες μοναχοί, οἱ τόν κόσμον ποθήσαντες, καί κοσμικά φρονήσαντες. Τότε διαχωρισθήσονται γονεῖς καί τέκνα, πατήρ καί υἱός, μητέρες καί θυγατέρες, φίλοι ἀπό φίλων, συγγενεῖς ἀπό συγγενῶν. Τότε διαχωρισθήσονται ἐλεεινῶς ἀνδρόγυνα τά μή φυλάξαντα τήν κοίτην ἀμίαντον. Ἀλλά παρεάσω τά λοιπά εἰπεῖν καί γάρ συνέχει με φόβος ἐν ταύτῃ μου τῇ διηγήσει.

Τότε λοιπόν ἐλαυνόμενοι καί τυπτόμενοι ὑπό ἀγρίων ἀγγέλων, καί ὠθούμενοι ἀποτρέχονται, τούς ὀδόντας τρίζοντες καί πυκνοτέρως στρεφόμενοι εἰς τά ὀπίσω ἰδεῖν τούς δικαίους ὅθεν ἐχωρίσθησαν, καί βλέπουσι τήν χαράν ἐκείνων καί τό φῶς ὅθεν ἐχωρίσθησαν, καί θρηνοῦσιν πικρῶς· καί ἀποκρύπτονται λοιπόν μηκέτι δυνάμενοι εἰς τά ὀπίσω θεωρεῖν. Καί ἐγγίζουσι τόν χαλεπώτατον τόπον, ὅπου πάλιν διαχωρίζονται καί μερίζονται εἰς ὅλας τάς κολάσεις. Τότε θεωροῦντες τήν τελείαν ἀπόφασιν, καί ὅτι οὐδείς ὁ παρακαλῶν ὑπέρ αὐτῶν· οὐδέ ἄφεσις καταλαμβάνει, ἵνα ἀνακάμψωσιν οἱ ὀλολύζοντες λέγουσιν· ὦ πόσον καιρόν ἀπωλέσαμεν ἐν ἀμελείᾳ; ὦ πῶς ἐνέπαιξεν ἡμᾶς ὁ μάταιος βίος; πῶς ἄλλους θεωροῦντες ἀγωνιζομένους οὐκ ἠγωνισάμεθα, ἀλλά τῶν Θείων Γραφῶν ἀκούοντες ἐγελῶμεν χλευάζοντες τούς ἀναγινώσκοντας· ἐκεῖ ὁ Θεός ἐλάλει διά τῶν Γραφῶν, καί οὐ προσείχομεν· ὧδε ἡμεῖς βοῶμεν, καί αὐτός τό πρόσωπον αὐτοῦ ἀποστρέφει ἀφ' ἡμῶν. Τί ἡμᾶς ὠφέλησεν ὅλος ὁ κόσμος;

ποῦ ὁ πατήρ ὁ γεννήσας; ποῦ ἡ μήτηρ ἡ ὠδίνουσα; ποῦ τά τέκνα; ποῦ οἱ φίλοι; ποῦ ὁ πλοῦτος; ποῦ τά ὑπάρχοντα; ποῦ ὁ θόρυβος καί τά ἄριστα; ποῦ ὁ πολύς καί ἄκαιρος δρόμος τοῦ βίου; ποῦ ἡ συγγένεια καί οἱ γνώριμοι; ποῦ οἱ βασιλεῖς καί οἱ δυνάσται καί οἱ σοφοί; ποῦ ἐκ τούτων οὐδεμίαν ἔχομεν ὠφέλειαν; Τότε θεωροῦντες τήν παντελῆ ἐγκατάλειψιν καί τοῦ Θεοῦ καί τῶν ἁγίων, ἀνακαλούμενοι μετά στεναγμῶν καί πικρῶν δακρύων λέγουσι· σώζεσθε, ἅγιοι καί δίκαιοι, ὅθεν ἡμεῖς ἐχωρίσθημεν· σώζεσθε, φίλοι καί συγγενεῖς· σώζεσθε, πατέρες καί μητέρες· σώζεσθε, υἱοί καί θυγατέρες· σώζεσθε, ἀπόστολοι· σώζεσθε, προφῆται καί μάρτυρες Κυρίου· σώζου Δέσποινα Θεοτόκε, σύ μέν πολλά ἐκοπίασας, παρακαλοῦσα ἵνα σωθῶμεν, ἀλλ' ἡμεῖς οὐκ ἠθελήσαμεν μετανοῆσαι καί σωθῆναι· σώζου καί σύ, τίμιε καί ζωοποιέ σταυρέ· σώζου ὁ παράδεισος τῆς τρυφῆς, ὅν ἐφύτευσεν ὁ Κύριος· σώζου ἡ ἄνω Ἰερουσαλήμ, ἡ μήτηρ τῶν πρωτοτόκων· σώζου ἡ βασιλεία τῶν οὐρανῶν, ἡ μή ἔχουσα τέλος· σώζεσθε πάντες, οὐκ ἔτι θεασώμεθά τινα ἐξ ὑμῶν, εἰς κόλασιν ἀπερχόμεθα μή ἔχουσαν τέλος μηδέ ἄνεσιν. Καί λοιπόν ἀπέρχονται ἕκαστος εἰς τόν ἡτοιμασμένον τόπον, ὅν ἡτοίμασαν ἑαυτοῖς, μή θελήσαντες μετανοῆσαι, ἵνα λυτρωθῶσιν ἐκ τῆς κραυγῆς καί ἀνάγκης ἐκείνης· διά τοῦτο κολάζονται εἰς ὅλους τούς αἰῶνας.

Ἠκούσατε, ἀδελφοί μου, τήν ἀπόφασιν. Ἠκούσατε τί πανθάνουσιν οἱ ἀμελοῦντες. Ἠκούσαε τά περί τῆς φοβερᾶς ἡμέρας ἐκείνης καί τῆς πονηρᾶς ὥρας. Φροντίσωμεν, ἀδελφοί· ἐκείνη γάρ ἡ ὥρα ἐστίν ἡ δοκιμάζουσα ὅλον τόν βίον ἡμῶν. Περί ταύτης τῆς φρικτῆς ὥρας ἡ Θεία Γραφή ἀπό ἀνατολῶν ἕως δυσμῶν ἐν ταῖς ἁγίαις ἐκκλησίαις βοᾷ, καί προλέγει, καί διαμαρτύρεται, ἵνα μή καταισχυνθῶμεν ἐν τῇ ὥρᾳ ἐκείνῃ. Περί ταύτης τῆς ὥρας ἔλεγεν ὁ προφήτης Δαβίδ· ὅτι σύ ἀποδώσεις ἑκάστῳ κατά τά ἔργα αὐτοῦ. Περί ταύτης τῆς ὥρας ὁ ἀπόστολος ἐβόα· βλέπετε πῶς ἀκριβῶς περιπατεῖτε· φοβερόν τό ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος (Ἐφεσ. 5, 15· Ἑβρ. 10, 31). Περί ταύτης τῆς ὥρας ἔλεγεν ὁ Χριστός· ἀγωνίζεσθε εἰσελθεῖν διά τῆς στενῆς πύλης (Λουκ. 13, 24). Ταύτην τήν ὥραν κατά νοῦν λαβόντες οἱ ἅγιοι ἀφῆκαν πάντα τά τερπνά τοῦ βίου, οἰκίας, πλοῦτον, πρόβατα, βόας, ἵππους, φίλους, ἀδελφούς, συγγενεῖς, τέκνα, τρυφήν, λουτρά, χώρας, δικαστήρια. Πάντα ἀφέντες ἔφυγον ἐν ἐρημίαις καί ὄρεσι καί σπηλαίοις καί ταῖς ὀπαῖς τῆς γῆς, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, (Ἑβρ. 11, 37) ἵνα μή καταισχυνθῶσιν ἐν τῇ ὥρᾳ ἐκείνῃ. Καί οὐ μόνον ἄνδρες, ἀλλά καί γυναῖκες τήν στενήν καί τεθλιμμένην ὁδόν ποθήσαντες, ἥρπασαν τήν βασιλείαν τῶν οὐρανῶν· ἐν γάρ Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ οὐκ ἔστιν ἄρσεν καί θῆλυ, (Γαλάτ. 3, 28), ἀλλ'

ἕκαστος τόν ἴδιον μισθόν λήψεται κατά τόν ἴδιον κόπον, ὡς γέγραπται. Μακάριοι οἱ σπουδαῖοι. Μακάριοι οἱ πενθοῦντες. Μακάριοι οἱ εὑρισκόμενοι φίλοι Χριστοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ. Μακάριοι οἱ γρηγοροῦντες ἐν ἐλεημοσύνῃ. Μακάριοι οἱ ἀγρυπνοῦντες ἐν προσευχαῖς. Μακάριοι οἱ πραγματευόμενοι καθ' ἑκάστην ἡμέραν τήν σωτηρίαν τῶν ψυχῶν αὐτῶν. Μακάριοι οἱ κρούοντες εἰς τήν θύραν τοῦ Χριστοῦ ἐν μακροθυμίᾳ. Μακάριος ὁ ἄνθρωπος, ὁ σκορπίζων τό φορτίον τῶν ἁμαρτιῶν αὐτοῦ, ὡς καιρός ἐστίν. Μακάριος ὁ ἀγοράζων ἔλαιον, πρίν λυθῇ ἡ πανήγυρις. Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὅν ἐλθών ὁ Κύριος εὑρήσει οὕτως ποιοῦντα. Μακάριοί ἐσμεν καί ἡμεῖς, ἀδελφοί, ἐάν μή περιπατήσωμεν κρούοντες, ἀνοίξει γάρ ἡμῖν· ἀψευδής γάρ ὁ εἰπών· κρούετε, καί ἀνοιγήσεται ἡμῖν (Ματθ. 7, 7. Ἰωάν. 6, 36)· καί πάλιν· ὅτι τόν ἐρχόμενον πρός με οὐ μή ἐκβάλλω ἔξω. Αὐτός ἐστίν ὁ Θεός ἡμῶν. Αὐτός ἔσωσεν ἡμᾶς. Αὐτῷ πρέπει δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



*Οἱ μάρτυρες ὑποκάτω τοῦ θυσιαστηρίου*

«Καί ὅτε ἤνοιξεν τήν πέμπτην σφραγίδα, εἶδον ὑποκάτω τοῦ θυσιαστηρίου τά ψυχάς τῶν ἐσφαγμένων διά τόν λόγον τοῦ Θεοῦ καί διά τήν μαρτυρίαν τοῦ ἀρνίου ἥν εἶχον...» (Ἀποκ. 6, 9).

## Μεγάλη ὀργή θά ἔλθη εἰς τόν κόσμον

(8 Μαΐου 1979)

... Ὅπως βλέπω εἶναι ἀκράτητοι οἱ ἄνθρωποι εἰς τό πονηρόν, καί λαός καί κλῆρος, σάν ἀχαλίνωτα ἄλογα, τρέχουν εἰς τήν ἁμαρτίαν· οὔτε συλλογίζονται Θεόν, θάνατον, κρίσιν, ἀνταπόδοσιν, τίποτε ἀπό αὐτά, μόνον γιά τήν ὕλη, τό σῶμα, γιά τίς ἡδονές, γιά τίς τιμές. Γιά τήν ψυχή, γιά τόν Θεό, γιά τήν ἀρετή; τίποτε. Ἐλάχιστοι εἶναι ἐκεῖνοι πού ἔχουν ἀληθινά ἐνδιαφέροντα, καί ἴσως χάριν αὐτῶν τῶν ὀλίγων κρατεῖ ὁ Θεός τόν κόσμον...

Ὁ Σατανᾶς κάνει τήν τελευταίαν ἔφοδον, καί εἰς αὐτά τά χρόνια πού εὑρισκόμεθα μεγάλη θλῖψις καί μεγάλη ὀργή θά ἔλθη στόν κόσμον... Πολλά γίνονται, ἰδίως δύο μεγάλα κακά, ἡ ἀσέλγεια καί αἱ ἐκτρώσεις τῶν γυναικῶν. Νά σκοτώνουν 6-10 παιδιά αἱ μητέρες καί νά μένουν ἀναίσθητες! καί δεύτερον ἡ γύμνια τῶν γυναικῶν. Περπατοῦν τώρα γυμνές, καί οἱ ἄνδρες δέν πέφτουν πίσω, καί αὐτό δέν εἶναι δυνατόν νά τό ὑπομένη ὁ Θεός...

Εὑρισκόμεθα εἰς τάς παραμονάς τῆς μεγάλης ὀργῆς, πλησιάζει τό τέλος τῆς συντελείας... Τό καλύτερον εἶναι νά κάνωμεν ὑπομονήν διά νά πᾶμε εἰς τήν βασιλείαν τῶν Οὐρανῶν.

Εἰς τόν Θεόν νά ἔχουμε τήν πίστιν μας, τήν ἐλπίδα μας, τήν ἀγάπην μας καί δέν θά μᾶς ἐγκαταλείψη...

Ὁ Χριστός δέν θά ἀφήση τήν Ἐκκλησίαν Του, ἀλλά καί ἐμεῖς ὅ,τι μποροῦμε νά κάνουμε, καί μακάριοι ἐκεῖνοι οἱ ὁποῖοι μέχρι θανάτου θά μείνουν πιστοί εἰς τήν ὀρθόδοξον πίστιν, εἰς τήν ὀρθόδοξον ὁμολογίαν...

Ἕνας ἠθικός καί στερεός εἰς τήν πίστιν ἀξίζει ἀπό μυρίους φαύλους καί αἰσχρούς περισσότερον... Νά μήν κλίνετε γόνυ εἰς τόν Βάαλ, ἀλλά ὑπεραμυνθῆτε τῶν πατρίων ὡς οἱ ἑπτά παῖδες οἱ Μακκαβαῖοι, ὡς οἱ Ἅγιοι Ἀπόστολοι καί οἱ Ἅγιοι Μάρτυρες· νά ἀγωνισθῆτε κατά τῶν θεοκαπήλων, προδοτῶν τῆς Ὀρθοδοξίας καί τῶν πατρικῶν παραδόσεων...

Μετά πατρικῆς ἀγάπης<br>
εὐχῶν ἐγκαρδίων καί εὐλογιῶν,<br>
ὁ πνευματικός σας Πατήρ<br>
Ἀρχιμ. Φιλόθεος

*Τοῦ ἐν ἁγίοις Πατρός ἡμῶν Ἀναστασίου τοῦ Σιναΐτου*

## Λόγος

## *Περί ψευδοπροφητῶν καί ἀθέων αἱρετικῶν, καί περί σημείων τῆς συντελείας τοῦ αἰῶνος*

Ὀδυνηρός ὁ λόγος, διότι καθώς μοῦ ἐδηλώθη, εἶναι καί τελευταῖος, ἀλλά εἶναι πολλῆς χαρᾶς γεμάτος· ὀδυνηρός μέν εἶναι, ὅτι πλέον δέν θέλω λαλήσει πρός ἐσᾶς· πολλῆς δέ χαρᾶς εἶναι γεμάτος, ὅτι ἔφθασεν ὁ καιρός μου νά ἀναλύσω καί νά εἶμαι μέ τόν Χριστόν. Καί καθώς εἶπεν ὁ Κύριος «ὅτι οὐκ ἔτι λαλήσω πρός ὑμᾶς» οὕτω λέγω καί ἐγώ τώρα μέ ὀδυνηράν καρδίαν, **περί τῶν ψευδοπροφητῶν καί ψευδοδιδασκάλων καί ἀθέων αἱρετικῶν**, περί τῶν ὁποίων ἔλεγε καί ὁ Ἀπόστολος· *«Πονηροί δέ ἄνθρωποι καί γόητες προκόψουσιν ἐπί τό χεῖρον, πλανῶντες καί πλανώμενοι»*. Περί τῶν ὁποίων πολλές φορές σᾶς ἐνουθέτησα καί πολλούς λόγους ἐποίησα μέ τήν χάριν τοῦ. Χριστοῦ, καθώς τό ἠξεύρετε καί ἐσεῖς, ὦ φιλόθεοι καί εἰς πᾶσάν μου ὁμιλίαν σχεδόν σᾶς ἐνθύμιζα περί τούτων, ἐάν τάχα ἐνθυμᾶσθε ἐκεῖνα ὅπου εἴπαμεν ἐχθές. Ἠξεύρω δέ ὅτι τά ἐνθυμᾶσθε καί μάλιστα ὅσοι εἶσθε φιλόπονοι καί φιλόχριστοι καί φιλαναγνῶσται διότι ὁ φιλαναγνώστης πρέπει ἀληθινά νά λέγεται καί φιλόχριστος, κατά τό Δεσποτικόν λόγιον, ὅπου λέγει· «Ὁ ἀγαπῶν με, καί τούς λόγους μου τηρεῖ, ἀγαπηθήσεται ὑπό τοῦ Πατρός μου· ὁ ἀγαπῶν με, ἐν τῷ νόμῳ μου μελετήσει ἡμέρας καί νυκτός», δηλονότι ἐν τῷ Εὐαγγελίῳ καί ἐν ταῖς λοιπαῖς Γραφαῖς. Ὁ τοιοῦτος ἔχει ἀνεξάλειπτον ἀπό τήν καρδίαν του πάντοτε τήν ἐνθύμησιν τοῦ Θεοῦ, ἀπεκδεχόμενος αὐτόν ἐκ τῶν οὐρανῶν καί ἀεί τηρεῖ τήν ὥραν τῆς αὐτοῦ παρουσίας, καί βαστάζει πάντοτε εἰς τάς χεῖρας αὐτοῦ τάς Ἱεράς Βίβλους, καί δέν λησμονεῖ ποτέ τῶν Ἱερῶν ἐκείνων Βιβλίων καί φοβερῶν, περί τῶν ὁποίων εἶναι γεγραμμένον· «Ὅτι Κριτήριον ἐκάθισε, καί Βίβλοι ἠνεώχθησαν». Βλέπεις πόσον κέρδος εἶναι τό ἐρευνᾶν τάς Γραφάς, κα-

θώς ἠκούσατε καί ἄλλαις πολλαῖς φοραῖς; Τί δέ εἶναι ἐκεῖνο ὅπου σᾶς λέγω; Ὅτι οὐδένα τίποτε ἄφησεν, οὐδέ παρεσιώπησε τῶν ὠφελούντων ἡμᾶς ἡ θεία Γραφή, ἀλλά πανταχοῦ κράζει διά τῶν Προφητῶν καί Ἀποστόλων, καί αὐτοῦ τοῦ Δεσπότου τῶν ὅλων προαναφωνοῦσα καί φυλάττουσα καθ' ἕνα, ὡς Μήτηρ φιλόστοργος τά ἴδια τέκνα. Προμαρτυρεῖ, ἐνθυμίζει καί περί τῶν περασμένων καί περί τῶν μελλόντων, μηδέν παρατρέχουσα, καθώς προείπομεν, τῶν συμφερόντων ἡμῖν. Καί τοῦτο, ὄχι νά λαλῇ τίποτε σκεπαστά ἤ κρυφά, ἀλλά πανταχοῦ φωνάζουσα καί κράζουσα μέ κόπον πολύν, καί διά τοῦ νόμου καί διά τῶν Προφητῶν καί διά τῶν Ἀποστόλων καί δι' αὐτοῦ τοῦ Δεσπότου τῶν ὅλων. Καί διά μέν τοῦ Ἡσαΐου τοῦ Προφήτου λέγει· «Ἀναβόησον ἐν ἰσχύϊ καί μή φείσῃ, καί ὡς σάλπιγγα ὕψωσον τήν φωνήν σου»· καί πάλιν λέγει· «Ἐπ' ὄρους ὑψηλοῦ ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιών»· καί παρεμπρός λέγει· «Ὑψώσατε, μή φοβηθῆτε». Καί ὁ Δαυΐδ λέγει. «Ἐκοπίασα κράζων, ἐβραγχνίασεν ὁ λάρυγξ μου»· ὁ Ἰωάννης δέ ὁ Θεολόγος εἰς τήν Καθολικήν Ἐπιστολήν λέγει· «**Βλέπετε ἑαυτούς, ἵνα μή ἀπολέσητε ἅ εἰργάσασθε, ὅτι πολλοί πλάνοι ἐξῆλθον εἰς τόν κόσμον**»· ὁ Παῦλος δέ εἶπε· «**Βλέπετε πῶς ἀκριβῶς περιπατεῖτε**»· ὁ δέ Κύριος λέγει· «Ἐγώ παρρησίᾳ ἐλάλησα»· καί ἀλλοῦ λέγει ὁ Εὐαγγελιστής περί αὐτοῦ, ὅτι· «**Εἱστήκει ὁ Ἰησοῦς καί ἔκραζε λέγων· ἐάν τις διψᾷ, ἐρχέσθω πρός με καί πινέτω**»· Βλέπεις πόσους ἀγῶνας, πόση σπουδή; πῶς ἡ θεία Γραφή κράζει καί οὐδείς ὁ συνιῶν; Καί πάλιν ὁ μακάριος Παῦλος εἶπε· «**Βλέπετε τούς κύνας, βλέπετε τούς κακούς ἐργάτας, βλέπετε τήν κατατομήν, βλέπετε πῶς περιπατεῖτε, ὅτι αἱ ἡμέραι πονηραί εἰσι**». Καί πολλά εἶναι τοιαῦτα εἰς τάς θείας Γραφάς παλαιᾶς τε καί καινῆς Διαθήκης, βοῶντα καί ἐξυπνίζοντα ἡμᾶς ἐκ τῆς ραθυμίας ἡμῶν· ἀλλά ἡμεῖς κάμνομεν ὅλον τό ἐναντίον, καθώς λέγει ὁ Κύριος διά τοῦ Ἡσαΐου τοῦ Προφήτου· «ὅτι τοῖς ὠσίν αὐτῶν βαρέως ἤκουσαν, καί τούς ὀφθαλμούς αὐτῶν ἐκάμμυσαν».

Ὢ πόσων καί ποικίλων γραμμάτων ἀκούομεν καί δέν τά συλλογιζόμεθα· ὅθεν καί ἀναπολόγητοι εὑρισκόμεθα εἰς τήν ἡμέραν τῆς ἐξετάσεως, ὅταν ἔλθῃ νά φωτίσῃ τά κρυπτά τοῦ σκότους, καί νά φανερώσῃ τάς βουλάς τῶν καρδιῶν· ὅταν καθίσῃ τό Κριτήριον καί ἀνεωχθοῦν αἱ Βίβλοι, τάς ὁποίας τώρα καταφρονοῦμεν καί δέν τάς ἀκούομεν, διότι ὅλοι μας πλανεμένον δρόμον περιπατοῦμεν καί τόν ἴσιον δρόμον καί ἀληθινόν τόν ἀφήκαμεν, καί ἐγενήκαμεν ὡς τό ἀπ'

ἀρχῆς, ὅτε οὐκ εἶχες ἐγγύς ἡμᾶς, Κύριε, καθώς λέγει ὁ Προφήτης. Καί ἀληθῶς εἰς ἡμᾶς ἐπληρώθη ἡ Προφητεία τοῦ Δαυΐδ ὅπου λέγει· «**Καί ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καί ἔμαθον τά ἔργα αὐτῶν**». Διά τοῦτο εἴμεθα τεταπεινωμένοι ἐν πάσῃ τῇ γῇ διά τάς ἁμαρτίας ἡμῶν, καί εἰς ἡμᾶς κατήντησαν τά τέλη τῶν αἰώνων, καθώς γράφει. «Ἐγένοντο καί οἱ ποιμένες λύκοι, καί τά πρόβατα συντετριμμένα, καί ὁ λιμός ἐπί θύραις· οὐ λιμός ἄρτου, καί δίψα ὕδατος, ἀλλά λιμός τοῦ ἀκοῦσαι λόγον Θεοῦ». Μηδένας λοιπόν ὅπου ἐλπίζει ἐπί Κύριον, ἄς μήν ἀπογινώσκεται· καί μή λυπᾶσθε, προβλέποντες καί προορῶντες πάντοτε τόν εἰπόντα «ὅτι μεθ' ὑμῶν εἰμι»· ἔχετε θάρρος λοιπόν «ὅτι οὐ λιμοκτονήσει Κύριος ψυχάς δικαίων». Περί τούτου τοῦ λιμοῦ λέγει ὁ Θεός διά τοῦ Προφήτου· «**Καί ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις, ἐπάξω λιμόν ἐπί τήν γῆν· οὐ λιμόν ἄρτου καί δίψαν ὕδατος, ἀλλά λιμόν τοῦ ἀκοῦσαι λόγον Θεοῦ, καί λαλεῖν ἐν παρρησίᾳ· καί περιδραμόντες ἀπό ἀνατολῶν ἕως δυσμῶν, ζητοῦντες τόν λόγον τοῦ Κυρίου, καί οὐ μή εὕρωσι**». Βλέπεις ὅτι δέν λέγει περί λιμοῦ, ἤγουν τῆς πείνας τοῦ ἄρτου, ἀλλά περί τοῦ λόγου τοῦ Θεοῦ; Ὢ πείνας δεινῆς καί ψυχοφθόρου καί βλαβερᾶς! Ὢ πεῖνα τῆς αἰωνίου κολάσεως πρόξενος! Τούτου ἡ πεῖνα εἶναι ἀφορμή παντός πονηροῦ πράγματος· τούτου ἡ πεῖνα προξενεῖ ὅλα τά κακά· ταύτην τήν πεῖναν προβλέπων ὁ Προφήτης Δαυΐδ ἐρχομένην, ἐπαρακάλει τόν Θεόν λέγων· «ὁ Θεός μου μή παρασιωπήσῃς ἀπ' ἐμοῦ», ἀλλά καί περί πάντων τῶν σπουδαίων καί πιστῶν προεφήτευσε λέγων· «Καί διαθρέψει αὐτούς ἐν λιμῷ» καί ἀλλοῦ λέγει· «Καί ἐν ἡμέραις λιμοῦ χορτασθήσονται»· καί πάλιν· «**Ἐλεήμων καί οἰκτίρμων ὁ Κύριος, τροφήν ἔδωκε τοῖς φοβουμένοις αὐτόν**».

Ταῦτα τά εἶπεν ὁ Δαυΐδ διά ἐκείνους, ὅπου ἐρευνοῦν τάς Γραφάς, ὅτι δέν πεινοῦν ποτέ. Ἄς ἐρευνήσωμεν τάς Γραφάς, ἀδελφοί, διά νά μή πεινάσωμεν ὅταν ἔλθῃ ὁ ψυχοφθόρος λιμός· ἄς ἐρευνήσωμεν, διά νά μή πλανηθῶμεν, καί μᾶς ταράσσῃ κάθε ἄνεμος, διά τόν ὁποῖον λέγει ὁ Κύριος πρός τούς ἀμελοῦντας· «Πλανᾶσθε, μή εἰδότες τάς Γραφάς». Ἐρεύνησον, ἀγαπητέ, τάς θείας Γραφάς, διότι εἶναι Δεσποτικόν τό παράγγελμα καί τό πρόσταγμα· ἐρεύνησον καί ζήτησον καί θέλεις εὕρει πολύν καί ἀνήκουστον πλοῦτον, καί θησαυρόν κεκρυμμένον ἐν τῷ ἀγρῷ. Ἀγρόν νόει τήν θείαν Γραφήν. Ἐρεύνησον καί θέλεις εὕρει· καί ὡσάν εὕρῃς, πάντα ὅσα ἔχεις πώλησον καί ἀγόρασον τόν ἀγρόν ἐκεῖνον, τήν καλήν γνῶσιν τῶν θείων Γρα-

φῶν, ἐν ταῖς ὁποίαις εἶναι κρυμμένος ὁ Υἱός καί ἡ ἀληθινή Σοφία τοῦ Πατρός, τόν ὁποῖον ἐάν τόν εὕρῃς, μακάριος θά εἶσαι, καθώς γέγραπται, ὅτι «Μακάριος ἄνθρωπος, ὅς εὗρε Σοφίαν». Ἐρεύνησον, ἀγαπητέ, ἤ πλούσιος εἶσαι ἤ πένης, ἤ δοῦλος ἤ ἐλεύθερος, ἤ ἄρσεν ἤ θῆλυ· ἐρεύνησον τάς Γραφάς, διότι ἡ θεία Γραφή εἶναι ἑρμάρι παντός ἀγαθοῦ.

Ἀλλά ἄς ἔλθωμεν ἐπί τό προκείμενον. **Περί γάρ τῆς συντελείας καί περί ψευδοπροφητῶν εἶναι ὁ λόγος μας, καί ψευδοδιδασκάλων καί ἀθέων αἱρετικῶν**, οἱ ὁποῖοι τρέχουν ὡσάν ἕνας μέγας χείμαρρος ἀπό πολλήν βροχήν, καί ἐσκέπασαν καί ἐπλάνεσαν πολλούς. Καί πόθεν ἐσυνέβη τοῦτο; Φανερόν εἶναι ὅτι ἐκ τῆς ἀγνωσίας καί ἀμαθείας τῶν Προεστώτων, διότι ὅπου εἶναι ἀμαθεῖς οἱ βοσκοί, ἐκεῖ μαζώνονται οἱ λύκοι καί ἀφανίζουν τά πρόβατα. Ποῖον λοιπόν νά εἰπῶ πρῶτον, περί τῆς συντελείας ἡμῶν, ἤ περί τῶν ἀθέων αἱρετικῶν καί νά στηλιτεύσω αὐτῶν τά βέβηλα δόγματα; Ἐάν εἶχα καιρόν, ἀληθῶς ἤθελα νά πομπεύσω τά ἄθεα αὐτῶν δόγματα καί ἄπρεπα πράγματα, ἀλλά μέγας εἶναι ὁ ἀγών καί πολύς ὁ λόγος, ὥστε νά ξεγυμνώσῃ καί νά θριαμβεύσῃ τά ἀκάθαρτα δόγματα. Ὅμως διά τήν ὥραν εἶναι ἀναγκαῖον νά φανερώσω ἐκ τῶν ἁγίων Γραφῶν τούτους, ὡς ἐχθρούς τοῦ Χριστοῦ καί λύκους τῆς αὐτοῦ Ποίμνης, πανταχοῦ διωκομένους καί ἐκβαλλομένους ἐκ τῶν προβάτων τοῦ Χριστοῦ· διό καί δικαίως ἐκλήθησαν λύκοι ὑπό τῶν Προφητῶν καί αὐτοῦ τοῦ Δεσπότου Χριστοῦ καί τῶν μακαρίων Ἀποστόλων· καί οὐ μόνον λύκοι, ἀλλά καί λοιμοί καί ἀσεβεῖς καί ἀντίδικοι καί ἐχθροί ἐπίβουλοι καί βλάσφημοι καί ὑποκριταί, καί κλέπται, καί λησταί καί βδελυκτοί, καί ψευδοπροφῆται καί ψευδοδιδάσκαλοι, καί ὁδηγοί τυφλοί, καί πλάνοι, καί πονηροί, καί Ἀντίχριστοι, καί σκάνδαλα, καί υἱοί τοῦ πονηροῦ, καί ζιζάνια, καί ἄθεοι, καί πνευματομάχοι, οἱ βλασφημοῦντες τό Πνεῦμα τῆς χάριτος· «οἷς οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι», διά τούς ὁποίους βλασφημεῖται ἡ ὁδός τῆς ἀληθείας. Ἀκόμη εἰς αὐτά καί τέκνα τοῦ πονηροῦ διαβόλου κράζονται, καθώς εἶπε πρός αὐτούς ὁ Κύριος, ὅτι «**Ἐσεῖς εἴσθε ἀπό τόν πατέρα σας τόν διάβολον**»· καί πάλιν ὁ Θεολόγος· «**Φανερά ἐστι τά τέκνα τοῦ διαβόλου**».

Εἶναι ἀνάγκη λοιπόν περί τούτων νά ἐξετάσωμεν πρῶτον, καί τότε νά εἰποῦμεν περί τῆς Συντελείας καί νά τελειώσωμεν τόν λόγον.

Ἐπειδή λοιπόν ἔφθασαν εἰς ἡμᾶς τά τέλη τῶν αἰώνων, ὡς λέγει ὁ

'Απόστολος, καί ἄρχισαν οἱ χαλεποί καιροί, καί ἡ ἀνομία πολύ ἐπληθύνθη, καί ἡ ἀγάπη τῶν πολλῶν ἐψύγη, καί οἱ πλανῶντες πολλοί, καί οἱ πλανεμένοι περισσότεροι, ἄγε δή νά ἀνοίξωμεν τάς ἱεράς Βίβλους, εἰς τάς ὁποίας εὑρόντες τά ἅγια ὄρη, Προφήτας λέγω καί 'Αποστόλους, ὅπως ἡμεῖς μή πλανηθῶμεν καί νά περιφερώμεθα ἐν παντί ἀνέμῳ τῆς διδασκαλίας καί τῆς πονηρίας τῶν ἀνθρώπων ἐν πανουργίᾳ πρός τήν μέθοδον τῆς πλάνης. Ἄς μήν ἀπομείνωμεν κάτω, ἀλλ' ἄς ἀναβῶμεν μέ τούς ἁγίους Μαθητάς ἐπί τό μακάριον ὄρος, καί νά ἀκούσωμεν παρά τοῦ ἡμετέρου καλοῦ Ποιμένος λέγοντος· **«Βλέπετε μή πλανηθῆτε»**. Καί ὁ 'Ιωάννης τά ὅμοια λέγει· **«Βλέπετε ἑαυτούς ἵνα μή ἀπολέσητε ἅ εἰργάσθητε»**· Καί ὁ Παῦλος πάλιν· **«Βλέπετε τούς κύνας· βλέπετε πῶς περιπατεῖν»**. Τό δέ βλέπετε δέν εἶναι ἄλλο τίποτε, παρά μόνον διά νά φυλαγώμεθα ἡμεῖς τό λέγουν, ἀπό ἐκείνους ὅπου μᾶς πλανοῦν μέ τό δέρμα τῶν προβάτων καί ὑποκρύπτουν τόν λύκον, καί πλανοῦν τούς ἀμελεστέρους. Καί κατά πολύ ἀναγκαίως πανταχοῦ λέγεται εἰς ταῖς θείαις Γραφαῖς τό· **«Βλέπετε, γρηγορεῖτε καί προσέχετε· οὐ μόνον ἑαυτοῖς, ἀλλά καί παντί τῷ ποιμνίῳ»**· Οὐδέν ἐσιώπησεν ἡ θεία Γραφή ἀπό ὅσα εἶναι πρός ὄφελος ἐδικόν μας. 'Εμένα μοῦ ἔρχεται νά διακηρύξω ὅταν ἀκούω τινῶν ἀπό τῆς ἐδικῆς μας 'Εκκλησίας νά λέγουν, ὅτι δέν τά λέγουν ταῦτα αἱ θεῖαι Γραφαί, καί τοῦτο, ὄχι μόνον ἀπό τούς λαϊκούς τό ἀκούω, ἀλλά καί ἀπ' αὐτούς ὅπου φαίνονται νά εἶναι Ποιμένες, καί ἐπέχουν τούς τόπους τῶν 'Αποστόλων καί τῶν Προφητῶν, ἀλλ' οὐχί τούς τρόπους· πρός τούς ὁποίους εἶναι εὔλογον νά εἰπῶ· «Οὐαί ὑμῖν ὁδηγοί τυφλοί καί ἀμαθεῖς καί ἀστήρικτοι, ὅπου καλλωπίζετε φορέματα καί ἐγκαταλείπετε τόν λόγον τοῦ Θεοῦ, καί ὑπηρετεῖτε τήν γαστέρα, ὧν ὁ Θεός ἡ κοιλία καί ἡ δόξα· οἱ ὁποῖοι πέρνετε τό γάλα καί τό μέλι καί τό κρέας τῆς ποίμνης, καί περί τῶν προβάτων δέν σᾶς μέλλει, περί τῶν ὁποίων ἔχετε νά δώσετε λόγον ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως. Πῶς θέλετε φύγει τοσαύτης ἀμελήσαντες σωτηρίας;» 'Εγώ δέ ἀκόμη νά προσθέσω εἰς τόν λόγον καί νά δείξω περισσοτέρας μαρτυρίας ἐκ τῶν θείων Γραφῶν, Εὐαγγελίων τε καί Προφητῶν καί 'Αποστόλων, τοῦ Χριστοῦ βοηθοῦντός μοι, διά νά φραγῇ πᾶν στόμα λαλούντων ἄδικα, τῶν ἀγαπώντων τόν λόγον νά φωτισθῇ ἡ καρδία. Πόθεν δέ νά ἀρχίσω; 'Εκ τοῦ εἰπόντος· **«'Εγώ εἰμι ἡ ἀρχή καί τό τέλος»**. Ἄς συμμαζώξῃ δέ καθ' ἕνας τόν νοῦν του πρός ἑαυτόν, καί ἄς ἀφήσῃ πᾶσαν κοσμικήν μέριμναν. **Εἶπεν οὖν ὁ Κύριος· «Βλέπετε μή**

**πλανηθῆτε· πολλοί δέ ἐλεύσονται ἐπί τῷ ὀνόματί μου λέγοντες, ὅτι ἐγώ εἰμι ὁ Χριστός, καί πολλούς πλανήσουσι»**· καί πάλιν· «**Προσέχετε ἑαυτούς ἀπό τῶν ψευδοπροφητῶν, οἱ ὁποῖοι ἔρχονται πρός ἐσᾶς μέ ἔνδυμα προβάτων, ἀπό μέσα δέ εἶναι λύκοι ἅρπαγες**», ἀλλ' ἀπό τῶν καρπῶν αὐτῶν νά τούς γνωρίζετε, τουτέστιν ἐκ τῶν λόγων, ἐκ τῆς ψευδοπροφητείας, ἐκ τῆς ὑποκρίσεως, ἐκ τῆς κακοδοξίας καί ἐκ τῆς βλασφημίας αὐτῶν καί νά τούς καταλαμβάνετε· διότι δέν δύναται τό σαπρόν δένδρον νά κάμνῃ καρπόν καλόν· πᾶν γάρ δένδρον ἀπό τόν καρπόν του γνωρίζεται. Οὕτω καί ἐσεῖς ἀπό τῶν καρπῶν, ἤγουν ἀπό τούς λόγους των νά τούς γνωρίζετε· καί ὅταν τούς γνωρίσετε, μή τούς παίρνετε εἰς τήν οἰκίαν σας, καί χαίρειν μή λέγετε αὐτοῖς, καί μή τούς ἐρωτᾶτε, μηδέ νά τούς ἀποκρίνεσθε λόγον· «μή βάλετε τούς μαργαρίτας ὑμῶν ἔμπροσθεν αὐτῶν», ἀλλά «προσέχετε ἀπό τῆς ζύμης αὐτῶν», ἤγουν τῆς αἱρέσεως. Μηδείς ἀπό σᾶς ἄς κακίσῃ εἰς ἐμέ, διότι ὁ Θεός εἶναι ὅπου λαλεῖ. **Ἀκούσατε οἱ Ποιμένες τήν φωνήν τοῦ Ἀρχιποιμένος**· ἀκούσατε καί προσέχετε τόν ἑαυτόν σας, καί παντί τῷ Ποιμνίῳ· βλέπετε τούς κύνας, βλέπετε τούς κλέπτας· «ὁ γάρ μή εἰσερχόμενος διά τῆς θύρας εἰς τήν αὐλήν τῶν προβάτων ἀλλά ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστί καί λῃστής»· καί πάλιν λέγει περί αὐτῶν· «**Ὁ μή ὤν μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστι**»· τουτέστιν ἐναντίος μου εἶναι· καί πάλιν πρός αὐτούς λέγει· «**Ἐσεῖς ἐκ τοῦ πατρός σας τοῦ διαβόλου εἶσθε**»· καί πάλιν, «**ἀλλοίμονον εἰς ἐσᾶς ὅτι κλείετε τήν Βασιλείαν τῶν οὐρανῶν, διότι καί ἐσεῖς δέν ἔρχεσθε καί τούς ἄλλους δέν ἀφίνετε νά ἔλθουν**». Καί ἀλλοῦ πάλιν· «**Ἐσεῖς δέν εἶσθε ἀπό τά πρόβατα τά ἐδικά μου**». Βλέπεις πῶς πανταχοῦ ὁ Δεσπότης στηλιτεύει καί πομπεύει τούς ἀσεβεῖς καί αἱρετικούς, διά νά μή πλανηθῶμεν ἡμεῖς; Ὢ τῆς ἀφάτου φιλανθρωπίας, ὢ τῆς ἀφάτου συγκαταβάσεως, ὢ τῆς ἀνεικάστου ἀγαθότητος! «**Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περί πάντων τούτων;**» Ὢ Ποιμένες καί συμποιμένες· ἰδού γάρ ὀλίγα ἀπό τά πολλά εἴπαμεν, πώς πανταχοῦ μᾶς προστάττει ὁ Δεσπότης νά φυλαγώμεθα, καί βοᾷ διά τῶν ἀχράντων Εὐαγγελίων· «**Βλέπετε, γρηγορεῖτε, σπουδάσατε, ἀγωνίσασθε**»· καί οὐ μόνον διά τῶν Εὐαγγελίων, ἀλλά καί διά τῶν Θεοφόρων Προφητῶν καί τῶν Θεολόγων Ἀποστόλων τά ὅμοια λέγει, διότι εἰς ὅλους αὐτούς αὐτός ὁμιλεῖ, καθώς βούλεται· καί μαρτυρεῖ μου τόν λόγον ὁ Παῦλος λέγων· «**Τοῦ ἐν ἡμῖν λαλοῦντος Χριστοῦ**».

Ἄς φέρωμεν λοιπόν τούς Θεολόγους Ἀποστόλους εἰς τό μέσον

καί ἄς ἀκούσωμεν ἐξ αὐτῶν τί μᾶς παραγγέλλουν περί τῶν ἀθέων αἱρετικῶν. Εἰπέ ἡμῖν, μακάριε Πέτρε, ὅπου σέ ἐμακάρισεν ὁ Κύριος Ἰησοῦς Χριστός· εἰπέ μας περί τῶν πλανώντων καί μελλόντων ἐξαπατᾶν τήν τοῦ Χριστοῦ Ποίμνην, τήν ὁποίαν σοῦ τήν παρέδωκε καί σοῦ τήν ἐμπιστεύθη ὁ Ἀρχιποίμην καί Ἐπίσκοπος τῶν ψυχῶν ἡμῶν· εἰπέ ὅσα σοῦ ἐχάρισε τό Πνεῦμα τό ἅγιον καί δυνάμωσον τήν Ποίμνην σου κατά τῶν κρυφῶν λύκων, καθώς καί ὁ διδάσκαλός σου Χριστός ὁ Κύριος ἡμῶν. Ὁ μακάριος Πέτρος εἶπε· «**Τοῦτο πρῶτον γινώσκετε· ὅτι ἔρχονται ἐν ταῖς ὑστεριναῖς ἡμέραις ἐμπαῖκται, νά πορεύωνται κατά τάς ἰδίας ἐπιθυμίας**»· καί πάλιν λέγει· «Ἀπό ἐσᾶς θέλουν γίνει ψευδοδιδάσκαλοι, οἱ ὁποῖοι θέλουν κάμει αἱρέσεις ἀπωλείας, καί τόν Δεσπότην τόν ἀγοράσαντα αὐτούς, ἀρνούμενοι· καί πολλοί θέλουν ἐξακολουθήσει τήν πλάνην αὐτῶν, τῶν ὁποίων ἡ ἀνταπόδοσις δέν ἀργεῖ καί ἡ ἀπώλεια οὐ νυστάξει· τῆς κατάρας τέκνα, διότι ἀφῆκαν τόν ἴσιον δρόμον καί περιπατοῦν κατά τήν πλάνην τοῦ νοός αὐτῶν». Ταῦτα εἶπεν ὁ Πέτρος, ὁ ἀληθῶς μακάριος Πέτρος, ἡ πέτρα τῆς πίστεως, εἰς τήν ὁποίαν ᾠκοδόμησεν ὁ Χριστός τήν Ἐκκλησίαν· Πέτρος, ὅπου κρατεῖ τά κλειδία τῆς Βασιλείας τῶν οὐρανῶν· Πέτρος ὅπου ἐπεριπάτησεν ἐπάνω εἰς τά κύματα· ὁ θερμός ἐραστής τοῦ Δεσπότου Χριστοῦ, ὁ θανατώσας τόν Σίμωνα τόν μάγον εἰς τήν Ρώμην ὡς πρωτοκορυφαῖος καί προστάτης, τόν πρωτολῃστήν καί κλέπτην καί μαθητήν τοῦ διαβόλου εἰς τάς αἱρέσεις. Πάλιν ὁ Ἰωάννης εἶπε· «**Φανερά ἐστι τά ἔργα τοῦ διαβόλου**». Βλέπεις πῶς εἰς ὅλους ὁ Χριστός λαλεῖ; διότι καί εἰς τό Εὐαγγέλιον τά ὅμοια εἶπε πρός αὐτούς, ὅτι ἐσεῖς ἀπό τόν πατέρα σας τόν διάβολον εἶσθε. Ἠξεύρω πολλούς ὅπου λέγουν, ὅτι καί αὐτός ὁ Θεός ἔπλασε λέγοντας, πώς χωρίς τοῦ Θεοῦ δέν ἐγίνηκεν οὐδέν πρᾶγμα, μή νοῶντας τί εἶναι ἐκεῖνα ὅπου λέγουν, οὐδέ διά ποῖα βεβαιώνουν. Ὅτι μέν ὁ Θεός τούς ἔκτισε, τό λέγω καί ἐγώ, ἀλλά τούς ἔκτισε διά νά κάμνουν ἔργα καλά, διά νά τούς ἀκολουθοῦμεν καί νά γενοῦμεν τέκνα Θεοῦ διά τῆς ὀρθῆς πίστεως. Ἀλλ' ἐπί τό προκείμενον ἄς γυρίσωμεν.

Ὁ Ἰωάννης εἶπε· «**Καί τώρα πολλοί ἀντίχριστοι ἐγίνηκαν**»· καί πάλιν λέγει· «Βλέπετε ἑαυτούς, διά νά μή χάσετε ἐκεῖνα ὅπου ἐδουλεύετε, ὅτι πολλοί πλάνοι ἐφάνηκαν εἰς τόν κόσμον»· καί πάλιν· «**Ἀγαπητοί, μή παντί πνεύματι πιστεύετε**», ἤγουν εἰς πᾶσαν διδασκαλίαν μή πιστεύετε «ἀλλά δοκιμάζετε τά πνεύματα, ἐάν εἶναι ἀπό τοῦ Θεοῦ, **ὅτι πολλοί ψευδοπροφῆται ἦλθον εἰς τόν κόσμον**»· καί πάλιν

λέγει· «Εἴ τις ἔρχεται πρός ἐσᾶς, καί δέν φέρει ταύτην τήν διδαχήν μαζί του, μή τόν δέχεσθε εἰς τά σπήτια, καί μή τόν χαιρετᾶτε, διότι ὅποιος τόν χαιρετᾷ, κοινωνεῖ εἰς τά ἔργα του τά πονηρά»· καί πάλιν λέγει· «**Καθ' ἕνας ὅπου παραβαίνει καί δέν στέκεται εἰς τήν διδαχήν τοῦ Χριστοῦ, Θεόν δέν ἔχει**». Ταῦτα λέγει ὁ Ἰωάννης, ὁ Υἱός τῆς βροντῆς, ὁ ἠγαπημένος ὑπέρ πάντας τούς ἁγίους, ὁ στερεώσας ἀπό περάτων ἕως περάτων τῆς οἰκουμένης τήν Ἐκκλησίαν· ὁ Ἰωάννης ὅπου ἔφραξε τά στόματα τῶν αἱρετικῶν μέ τήν Θεολογίαν.

Ὁ Ἰάκωβος δέ εἶπεν· «Ὅστις θέλει νά εἶναι φίλος αὐτοῦ (τοῦ διαβόλου), γίνεται ἐχθρός τοῦ Θεοῦ». Ἀκούσατε, ὅλοι ὅσοι φιλιώνεσθε καί τρώγετε μέ τούς αἱρετικούς, ὀδυνηράν ἀπόφασιν, ὅτι τοῦ Χριστοῦ ἐχθροί εἶστε· διότι οὐδέ ἐκεῖνος ὅπου φιλιώνεται μέ τούς ἐχθρούς τοῦ βασιλέως ἠμπορεῖ νά εἶναι φίλος αὐτοῦ, ἀλλ' οὐδέ νά ζήσῃ εἶναι ἄξιος, ἀλλά μαζύ μέ τούς ἐχθρούς τόν ἀφανίζει. Καί ὁ Ἰούδας τοῦ Ἰακώβου εἶπεν· «Ἐφάνηκαν τινές ἄνθρωποι, οἱ ἔκπαλαι προγεγραμμένοι, εἰς τοῦτο τό κρίμα ἀσεβεῖς, μεταβάλλοντες τήν τοῦ Θεοῦ χάριν εἰς ἀσέλγειαν καί τόν μόνον Δεσπότην καί Κύριον Ἰησοῦν Χριστόν ἀρνούμενοι». Καί πάλιν λέγει· «**Εἰς τούς ὑστερινούς χρόνους γίνονται ἐμπαῖκται νά πορεύωνται κατά τῆς ἰδίας αὐτῶν ἐπιθυμίας τῶν ἀσεβειῶν.** Οὗτοι εἶναι ἐκεῖνοι, ὅπου περνοῦν τήν ζωήν τους ἀφόβως ὡς φθάσουν· νέφελα ἄνυδρα, ὅπου τά σύρνει κάθε ἄνεμος· ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνας τετήρηται». Ταῦτα καί ἄλλα περισσότερα μᾶς παραινεῖ ὁ καλός Ἰούδας.

Ἔλα λοιπόν καί σύ, Παῦλε, τό σκεῦος τῆς ἐκλογῆς, εἰπέ μας καί σύ κατά τήν χάριν τήν δοθεῖσάν σοι ἐκ Θεοῦ, εἰπέ μας περί τοῦ παρόντος πονηροῦ καιροῦ· φανέρωσον τούς κρυφούς λύκους· παρρησίασον καί πόμπευσον τούς κλέπτας καί λῃστάς τῆς ἁγίας Ποίμνης Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ὁ Παῦλος εἶπεν· «Ἐγώ ἠξεύρω, ὅτι μετά τήν τελείωσίν μου **ἔρχονται λύκοι βαρεῖς εἰς ἐσᾶς, νά μή λυποῦνται τήν ποίμνην μου**». Βλέπεις ἰσολογίαν Προφητῶν καί Ἀποστόλων ἅμα; βλέπεις τούς Θεολόγους πῶς συμφωνοῦν πανταχοῦ τά λόγια τους περί τῶν ἀθέων αἱρετικῶν, σκυλία καλοῦντες αὐτούς καί λύκους; καθώς λέγει καί ἀλλοῦ ὁ Παῦλος· «βλέπετε τά σκυλία· βλέπετε τούς κακούς ἐργάτας· βλέπετε τήν κατακοπήν· βλέπετε νά μήν εἶναι τις ὅπου σᾶς πλανᾷ διά τῆς φιλοσοφίας καί ματαίας πλάνης. **Βλέπετε ἀκριβῶς πῶς περιπατεῖτε, ὅτι αἱ ἡμέραι πονηραί εἰσι**». Τί ἀπολογίαν ἔχει νά δώσῃ ὁ ἀκούων ταύτας τάς παραγγελίας, ἐάν ἀμε-

λήση; Καί ἄλλοῦ πάλιν λέγει· «Πολλῶν εἰδῶν καί παράξεναις διδαχαῖς μή ταῖς παραδέχεσθε»· καί πάλιν· «Αἱρετικόν ἄνθρωπον μετά μίαν καί δευτέραν νουθεσίαν, φεῦγε ἀπ' ἐκεῖνον»· καί πάλιν· **«Πονηροί δέ ἄνθρωποι καί γόητες θέλουν προκόψει εἰς τό χειρότερον, πλανῶντες καί πλανώμενοι»**. Ἀκούσατε πάλιν ὅσοι φιλιώνεσθε μέ αὐτούς· «Τοῖς δέ μεμιασμένοις οὐδένα εἶναι καθαρόν, διά νά φύγετε ἀπό τῆς ὀργῆς τῆς ἐρχομένης ἐπ' αὐτούς». Καί ὅσοι μένετε μέ αὐτούς εἰς φαγοπότια, πῶς ἀποτολμᾶτε καί μεταλαμβάνετε τά θεῖα καί φρικτά Μυστήρια τοῦ Χριστοῦ; ἤ δέν ἀκούετε τόν μακάριον Παῦλον ὅπου φωνάζει, ὅτι δέν δύνασθε νά τρώγετε ἀπό τῆς Τραπέζης τοῦ Κυρίου, καί ἀπό τῆς τραπέζης τῶν δαιμονίων; Ἐβγᾶτε ἀπό τό μέσον τούς λέγει ὁ Προφήτης, καί ἀκαθάρτου μή ἅπτεσθαι. Ἄρα μᾶς ἀκούετε εἰς ταῦτα ὅπου λέγομεν; ἄρα σᾶς καταπείθομεν ἤ ἀδίκως κοπιάζομεν καί λαλοῦμεν εἰς τόν ἀέρα; Ὅμως διά τούς θέλοντας καί σπουδάζοντας διά νά ἀκούσουν τόν λόγον, καί νά τόν κάμνουν, δέν θέλω κακίσει, οὐδέ νά παύσω τά λόγια τοῦ Παύλου, ἀλλά τά αὐτά πάλιν λέγω, καί ἀκούσατε· **«Μή γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις· τίς γάρ κοινωνία φωτί καί σκότει;»** Ποῦ εἶναι οἱ θρασύστομοι καί ματαιολόγοι, ὅπου λέγουν, ὅτι δέν εἶναι ταῦτα ἐκ τῆς θείας Γραφῆς, τῶν ὁποίων Θεός ἡ κοιλία καί ἡ δόξα, καί ὅπου ἀγαποῦν ὅλα τά ἐπίγεια; Ταῦτα εἶπεν ὁ Παῦλος, τό στόμα τῆς Ἐκκλησίας, τό σκεῦος τῆς ἐκλογῆς, ὁ πολύαθλος καί γενναῖος Παῦλος, ἡ θεόφθογγος λύρα, ὁ χριστοκήρυξ καί συγγραφεύς τῶν δογμάτων, ἡ σάλπιγξ τοῦ λόγου, ὁ ρήτωρ τῆς εὐσεβείας, ἡ τῶν ἐθνῶν σαγήνη.

Καί οἱ μέν μακάριοι καί Θεολόγοι Ἀπόστολοι ταῦτα καί περισσότερα εἶπον περί τῶν ἀθέων καί ἀπίστων αἱρετικῶν, οἱ δέ Προφῆται πρωτύτερα καί αὐτοί τά ὅμοια εἶπαν. Ἀλλ' ἀνάγκη εἶναι νά τούς φέρωμεν καί αὐτούς εἰς τό μέσον· εἶπε γάρ ὁ Δαβίδ· **«Οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια»**· καί πάλιν λέγει· **«Κύριε, τούς μισοῦντάς σε ἐμίσησα καί ἐπί τούς ἐχθρούς σου ἐξετηκόμην· τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθρούς ἐγένοντό μοι»**. Καί ὁ σοφός Σολομών εἶπεν· **«Ὅτι ἀσεβεῖς ὑποκρίνονται εὐσεβεῖν»**· καί πάλιν λέγει· **«Υἱέ, μή σέ πλανήσουν ἄνδρες ἀσεβεῖς, μηδέ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν»**. Καί ὁ Προφήτης Ἡσαΐας εἶπε, μάλιστα ὁ Θεός διά τοῦ Προφήτου λέγει· «Υἱούς ἐγέννησα καί ὕψωσα, αὐτοί δέ με ἠθέτησαν»· καί πάλιν λέγει· **«Οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσι, λέγει Κύριος»**. Ἄρα ἀρκοῦν ταῦτα ἤ νά φέρωμεν εἰς τό μέσον ὅλους τούς Προφήτας λέγοντας τά ὅμοια,

ἀλλά φθάνουν καί ταῦτα πρός ἐκείνους ὅπου ἀγαποῦν νά τά κάμνουν, διότι ἐκεῖνος ὅπου δέν πείθεται εἰς ὅσα εἴπομεν, οὐδέ εἰς τά πολλά θέλει ἀκούσει. Ἀλλ' ἀκόμη ὀλίγον ἄς διατρίψωμεν εἰς τά λόγια τοῦ Προφήτου Δαυΐδ καί νά ἰδοῦμεν πῶς στηλιτεύει καί φανερώνει τόν κεκρυμμένον δόλον εἰς αὐτούς καί λέγει· «**Οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία**». Βλέπεις τοῦ Προφήτου τήν σύνεσιν, πῶς δημοσιεύει καί ξεσκεπάζει καί πομπεύει τούς κενοδόξους, διά νά μή πλανηθῶμεν ἡμεῖς; Ἀκούσατε, ὀρθόδοξοι, καί μή ἀνακατώνεσθε μέ τούς αἱρετικούς· ἀκούσατε Ποιμένες καί φρίξατε καί μή σιγᾶτε, ἀλλά κηρύττετε τόν δόλον τῆς ἀσεβείας αὐτῶν· μή δίδετε τόπον τῷ διαβόλῳ· μήν ἀφίνετε θύραν τοῖς λύκοις. Μιμηθῆτε τόν μακάριον Ἀπόστολον Πέτρον, ὅπου βλασφημοῦντος εἰς τήν Ρώμην τοῦ τρισκαταράτου Σίμωνος καί λέγοντος, πώς αὐτός ἦτον ἡ δύναμις τοῦ Θεοῦ, οὔτε κἄν πρός ὥραν ἐσιώπησεν ἤ ὑπέμεινεν, ἀλλ' ἐλέγξας αὐτόν, καί ψεύστην ἀποδείξας καί ληστήν καί ἀντίθεον, καί ἐγκρεμνίσας αὐτόν, παρέδωκεν εἰς τήν ἀπώλειαν. Ὁμοίως δέ καί τόν υἱόν αὐτοῦ, μᾶλλον δέ τοῦ διαβόλου, τόν μιαρόν Μουντανόν καί ἀκάθαρτον καί ἄθεον, μετά δύο μοιχαλίδων, μέ πολλήν ἐλέγξας μανίαν ὁ ἅγιος Ἀπόστολος, καί ἄθεον καί ψευδόχριστον καί ψευδοπροφήτην ἀποδείξας, ἐφίμωσε καί ἔφραξε τό μιαρόν αὐτοῦ στόμα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, μή μακροθυμήσας, μηδέ ὑπομείνας καιρόν εἰς τήν αὐτοῦ βλασφημίαν. Οὕτω κάμνετε καί σεῖς, ὦ Ποιμένες «**καί μή συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δέ καί ἐλέγχετε**»· καθώσπερ καί οἱ Ἀπόστολοι καί ὁ Θεοπάτωρ Δαυΐδ, ὅπου ἔλαβε περί αὐτῶν πολλούς κόπους καί πολλούς ἀγῶνας, ἐλέγχων καί στηλιτεύων καί φωνάζων πρός τόν Θεόν κατ' αὐτῶν καί λέγων· «Ἕως πότε ἁμαρτωλοί, Κύριε, ἕως πότε ἁμαρτωλοί καυχήσονται; διασκόρπισον αὐτούς ἐν τῇ δυνάμει σου· δός αὐτοῖς κατά τά ἔργα αὐτῶν· ἐν τῇ πόλει σου τήν εἰκόνα αὐτῶν ἐξουδενώσεις, ὅτι ἐκεῖνα ὅπου τελειώνεις ἐσύ, αὐτοί τά χαλοῦν».

Καί πάλιν ἐπαρακάλει ὁ Δαυΐδ, κάμνων δεήσεις πρός τόν Θεόν, διά νά ἔλθῃ αὐτός ὁ ἴδιος νά τελειώσῃ τό ζήτημά του, καί ἔλεγε· «Κύριε, κλῖνον οὐρανούς καί κατάβηθι· Κύριε, μή χρονίσῃς. Ταχύ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε». Καί ὁ φιλάνθρωπος Θεός ὅπου θέλει νά σωθοῦν ὅλοι οἱ ἄνθρωποι καί νά ἔλθουν εἰς ἐπίγνωσιν τῆς ἀληθείας, ὁ ἐγγύς πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν ἐν ἀληθείᾳ, δέν παρήκουσεν οὐδέ ἐκαταφρόνησε τήν δέησιν τῶν Ἁγίων,

ἀλλ' ἔκλινεν οὐρανούς καί κατέβη, καί πάντα οἰκονόμησεν εἰς σωτηρίαν τοῦ γένους ἡμῶν, καί τά ἔδειξε ὅλα, κάμνοντας καί διδάσκοντας. Εἶτα, θέλων νά δείξῃ, ὅτι, ὅσοι θέλουν νά εἶναι προεστοί τῶν 'Εκκλησιῶν, οὕτω νά διώκουν τούς αἱρετικούς, ἐποίησε φραγγέλιον ἀπό σχοινί καί ἐμπῆκε καί ἐξέβαλε πάντας ἀπό τό 'Ιερόν καί τούς ἐδίωξε λέγων· «'Ο οἶκός μου εἶναι οἶκος προσευχῆς, καί σεῖς τόν ἐκάματε σπήτι τῶν ληστῶν»;

